ψωμοκόλακες οἱ παράσιτοι, ὡς Φιλιππίδης.

ψωμόλεθρος ὁ πολυφάγος.

ψωμός ὁ ἄρτος.

ψώρα κνησμονή.

Ψωρίς ὄνομα πόλεως.

ψῶσαν θάλπουσαν, Ἡρόδοτος ⟨6 61⟩.

ψώχοντες θρύπτοντες, λεπτύνοντες.

ψῶχος γῆ ψαμμώδης.

ὦα μηλωτή, διφθέρα. καὶ τὸ λῶμα τοῦ ἐνδύματος περὶ τὴν πέζαν· ἢ τὸ περιστόμιον. ὤαν ἐκάλεσεν ὁ Δαβὶδ ὃ καλοῦμεν περιτραχήλιον· οἳ δὲ στόμα ἐνδύματος εἰρήκασιν, οἳ δὲ τὴν ἀνάκλασιν τοῦ ἱματίου. "ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ" ⟨Theodoret. in Ps. 132⟩.

ᾠά τὰ ἐκ τῶν κατοικιδίων ὀρνίθων γεννώμενα.

ὠατοθήσω ἀκούσομαι, Δωριεῖς.

ὠβάς παρὰ Πλουτάρχῳ ⟨Lycurg. 6⟩.

ὠβέλισται ἠθέτηται, ἠλλοτρίωται· ὁ γὰρ ὀβελὸς ἐν τοῖς βιβλίοις ἀθετήσεως σύμβολον.

Ὢγ βασιλεὺς τῆς Βασάν, καὶ Σηών βασιλεὺς τῶν Ἀμορραίων, οἳ ἐπὶ δυναστείᾳ ἐσεμνύνοντο. ὁ δὲ Ὢγ καὶ κλίνῃ ἐκέχρητο σιδηρᾷ, διὰ τὸ τοῦ σώματος μέγεθος θ′ μὲν πήχεις τὸ μῆκος ε′ δὲ τὸ εὖρος ἐχούσῃ. ὁ βασιλεὺς τῆς Βασὰν Ὢγ προσαγορεύεται, τουτέστι διάφραξις, ὡς τῶν ἔργων τῆς αἰσχύνης (τοῦτο γὰρ ἡ βασάν) τὴν ὁδὸν τῆς σωτηρίας ἡμῖν ἀποφρασσόντων. ὃν ἀποκτενεῖ κύριος ἐπ᾽ ἐλευθερίᾳ τῶν κρατουμένων.

ὠγαθέ ἀντὶ τοῦ ὦ ἀγαθέ.

ὠγενίδαι ἀρχαῖοι.

ὠγκώθη· "κἂκ τούτου ἐπὶ πλεῖον ὠγκώθη ἢ κατὰ τὸ ὑπάρχον."

ὤγμευον Ξενοφῶν ἐν β′ ⟨Cyr. 2 4 20⟩ ἀντὶ τοῦ ἐπορεύοντο, παρὰ τὸν ὄγμον τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων.

ᾤγνυντο ἠνοίγοντο.

Ὠγύγια κακά, ἐπὶ τῶν σκληρῶν, ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγου διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. ἄμεινον δὲ λέγειν Ὠγύγια κακὰ τὰ παλαιά· τοῦτο γὰρ ἡ λέξις δηλοῖ.

Ὠγύγιον ἀρχαῖον, παλαιόν· ἢ ὑπερμέγεθες. ἢ διὰ τὸ Ὤγυγον πρῶτον ἄρξαι τῶν Θηβῶν.

ὧδε οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε, ὡς ἡμεῖς· Κρατῖνος Δραπέτισι "τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένους τινὰς εἶναι." Ἀριστοφάνης Κωκάλῳ "ἐκδότω δέ τις καὶ ψηφολόγιον ὧδε καὶ δίφρω δύο." καὶ Πλάτων που κέχρηται ἀντὶ τοῦ δεῦρο καὶ ἐνθάδε. τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ· Εὔπολις Ταξιάρχοις "οὐκ ἦν φυλάττῃ γ᾽ ὧδ᾽ ἔχων τὴν ἀσπίδα."

ὧδέ πως οὕτω πως.

ᾤδει ὠγκοῦτο.

ὦ δειλακρίων σύ ⟨A Av. 143⟩ ἀντὶ τοῦ ὦ κακόδαιμον καὶ δειλότατε.

ᾠδεῖον Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποίηκεν, ὥς φασί, Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· διὰ τοῦτο γὰρ καὶ ᾠδεῖον ἐκλήθη, ἀπὸ τῆς ᾠδῆς. ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος. διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ.

ᾠδή τραγῳδία.

ᾠδηκός φλεγμαῖνον, πεφυσιωμένον· "ᾠδηκός τε γὰρ ἦθος ὑπὸ πλούτου καταστέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας, καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει καὶ ἀταπείνωτον εἶναι παρασκευάζει τῷ καταμελιτοῦντι τὰς ἁπάντων ἀκοὰς διηγήματι, ὑφ᾽ οὗ κἂν Ξέρξης ἐπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην στρατιὰν ἐλάσας ἐπὶ τοὺς Ἕλληνας."

ᾠδηκώς οἰδήσας, φυσήσας.

ὠδίν ὠδῖνος, ταῖς ὠδῖσι.

ὠδῖνες θανάτου καὶ παγίδες οἱ θανατηφόροι κίνδυνοι· Δαβίδ ⟨Ps. 17 6⟩ "ὠδῖνες ᾅδου περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτου." ὠδῖνες καλοῦνται αἱ πρὸ τοῦ τοκετοῦ τῆς τικτούσης ὀδύναι. τοιγαροῦν ἐκ τῆς μεταφορᾶς ταύτης ὠδῖνες ᾅδου προσαγορεύονται αἱ αὐτὸν προσπελάζειν τῷ θανάτῳ παρασκευάζουσαι συμφοραί ⟨Theodoretus in Ps. 114 3⟩.

ὤδινον ἐνεκυμόνησαν, ἀπέτεκον· "ὃ δὲ ἦν πλούτῳ καὶ γένει διαφανής. ἐκοῦν οἱ πολῖται ὤδινον κατ᾽ αὐτοῦ φθόνον γενναῖον." "ὠδίνων τὴν καθ᾽ ἡμῶν λοιδορίαν ἄθρουν ἐξέχεας" ἀντὶ τοῦ ἀθρόως, ὁμοῦ.

ὡδί πῃ, καὶ ὡδί πως.

ὠδίς ἡ ἐκ τοῦ τοκετοῦ ὀδύνη· "ὃ δὲ ἐξειπεῖν τὴν ὠδῖνα ἣν ἐκύει οὐκ ἐτόλμα, τὴν ἐλπίδα τοῦ ἴσως ἄν ποτε τυχεῖν ἐν τῷ κρύπτειν ὑποθάλπων ἄρ᾽ ἐκεῖνος" ⟨Aelianus?⟩.

ᾠδόν ᾠδικόν, ψάλτην· ἐν ἐπιγράμματι

⟨AP 6 54⟩ "χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιθάρας."

ὡδοποίησεν ἀντὶ τοῦ οὐκ ἐκώλυσε τῇ φιλανθρωπίᾳ τὴν τιμωρίαν, ἀλλ' ἔδωκε χώραν τῇ δικαίᾳ παιδείᾳ· "ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ" ⟨Theodoret. in Ps. 77 50⟩.

ὠδύσατο ⟨Hom. Σ 292, ε 340⟩ ὠργίσθη.

ὦ δύσπορ' Αἶαν, οἷος ὢν οἵως ἔχεις. ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν" ⟨S Ai. 923⟩.

ὠδώδει ἔπνει.

ᾤετο ὑπελάμβανεν.

ὤζεσαν προσώζεσαν.

ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω, ἢ δεινὰ μὲν κέρδη δέ; λυπηρῶς δ' ἔχει, εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς" ⟨S El. 766⟩. ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει, πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται.

ᾠήθησαν ἐνόμισαν.

ὦ Ἡράκλεις, τί μαίνῃ; τοῦτο λεχθῆναι ὑπὸ τῶν Ἀργοναυτῶν φασὶν ἀνακαλέντων τὸν Ἡρακλέα ἀπολειφθέντα αὐτῶν κατὰ βούλησιν τῆς Ἥρας.

ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας ⟨A Eq. 1327⟩.

ὠθήσω ἀντὶ τοῦ ὤσω. οὕτως Ἀριστοφάνης· ὤθω γὰρ τὸ προώθω. ὠθῶ δὲ περισπωμένως.

ὠίγνυντο ἀνεῴχθησαν. Hom. *B* 809.

ὤιξεν ἤνοιξεν. Hom. *Z* 298.

ὦκα ταχέως.

ὠκεάνειον ῥεῦμα τὸ τοῦ ὠκεανοῦ.

ὠκεανός ἡ κύκλῳ πάσης τῆς γῆς θάλασσα, παρὰ τὸ κέω τὸ σχίζω, κεανός, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ τροπῇ τοῦ α εἰς ω ὠκεανός· "ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πηγαί" ⟨Hom. Φ 196⟩.

ὠκεῖα ταχεῖα.

ὦκειλε. καὶ ἐξώκειλεν, ὅ ἐστιν ἔξω τοῦ κέλλειν γέγονεν· ἀποκέλλειν γὰρ τὸ εἰς τοὔμπροσθεν ἰέναι.

ὤκιμον δένδρον.

ὠκινάκης. οὐδαμῶς Ἀττικόν· ἀλλ' Ἡρόδοτος οὕτω λέγει τὸν ὠκινάκην.

Ὠκίναρος ⟨Lycophron 729⟩ ποταμός.

ὤκλασαν τὰ γόνατα ἔκαμψαν.

ὤκνουν ηὐλαβούμην, καὶ ὤκνουν ηὐλαβοῦντο, ὠλιγώρουν. "συνιέντες δὲ οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν, ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ὑποστροφὴν ἄπορον εἶναι Κύρου μὴ συναιρομένου, συνῄεσαν" ⟨X Anab. 1 3 7⟩.

ὠκύαλος ναῦς ἡ ταχεῖα. Hom. *O* 705.

ὠκύμολος ταχέως πορευόμενος.

ὠκύμορος ταχυθάνατος. "τὰ ἀνθρώπεια ὠκύμορα καὶ ἐφήμερα, ταῦτά τοι καὶ σπουδῆς ἀνάπλεα· καὶ συγγνώμην αὐτοῖς νέμειν ὑπὲρ τῆς ἄγαν σπουδῆς."

ὠκυμορώτατος. Hom. *A* 505.

ὠκυπέτα ⟨Hom. Θ 42⟩ τοὺς ταχεῖς.

ὠκυπλόων ταχυπόρων.

ὠκύπτερον ταχυπετῆ.

ὠκύρροος ταχέα ἔχων ῥεύματα.

ὠκύς ταχύς.

ὦ Λακιάδαι, ἐπὶ τῶν μοιχῶν λέγεται· δῆμος γὰρ τῆς Ἀττικῆς οἱ Λακιάδαι, ἐν ᾧ ῥαφανῖδες πολλαί, αἷς ἐχρῶντο κατὰ τῶν ληφθέντων μοιχῶν ἐνυβρίζοντες. καὶ στελεοῖς δὲ ἐχρῶντο μὴ παρουσῶν τούτων ἀλαβάστοις.

ὠλέκρανον ὁ ἀγκών.

ὦλεν ⟨an ὦφλεν⟩ ἑάλω, ὠφείλησεν.

ὠλέναι οἱ πήχεις τῶν χειρῶν. καὶ λευκώλενοι. "ἐποχούμενος ἐπέστη ἀκηράτοις ὠλέναις." ὠλήν δὲ ὠλένος ἀρσενικόν· τοῖς ὠλέσι πληθυντικόν.

Ὠλενία πέτρα ⟨Hom. B 617⟩. καὶ ὄνομα πόλεως.

Ὠλένιος ἀγκών. οἱ Σκύθαι.

ὤλενος εἶδος ζῴου.

ὠλεσίκαρποι ματαιόκαρποι· Ὅμηρος ⟨κ 510⟩ "καὶ ἰτέαι ὠλεσίκαρποι." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ ὠλεσίβωλος· "κωλεσίβωλον σφῦραν," τὴν κλῶσαν τοὺς βώλους.

ὠλήν ὁ βραχίων.

Ὠλήν Δυμαῖος ἢ Ὑπερβόρειος ἢ Λύκιος, ἐποποιός. μᾶλλον δὲ Λύκιος ἀπὸ Ξάνθου, ὡς δηλοῖ Καλλίμαχος ⟨h. Del. 305⟩ καὶ ὁ πολυίστωρ ἐν τοῖς περὶ Λυκίας.

ὠλιγώρηται ἐκβέβληται, ἡμάρτηται.

ὤλισθον ἀτάκτως ἐρρίφθησαν· "οὐδὲ ὤλισθον ἄλλως αἱ εὐχαὶ καὶ αἱ κατὰ τοῦ θεοῦ ἐχθροῦ ἀραί" ⟨cf. v. ἄλλως⟩.

ὦλκα τὴν αὔλακα.

ὧλλοι ἀντὶ τοῦ οἱ ἄλλοι.

ὠλύγιον καὶ διωλύγιον.

ὠλώλειν ὑπερσυντελικός.

ὦ λῷστε ὦ βέλτιστε.

ᾦμαι. καὶ ἐγᾦμαι ἐγὼ οἶμαι.

ὦ μακάριε τῆς τέχνης ⟨A Av. 1410⟩.

ὠμάρτησαν ἠκολούθησαν.

ὠμαχθής ἡ βάρος τοῖς ὤμοις παρεχομένη· ἐν ἐπιγράμματι (AP 6 104) "σπερμοφόρον πήρην ὠμαχθέα."

ὦ μέγα θαῦμα ὦ θαυμάσιε.

ὦ μέλε. παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνον, ὡς τὸ ὦ τάλαν, παρὰ δε τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν Ἱππεῦσιν Ἀριστοφάνης (676) καὶ ἐν Θεαιτήτῳ Πλάτωνος (p. 178). καὶ Μένανδρος Συνεργώσῃ "ἄφες τὸν ἄνθρωπον. τί κόπτεις, ὦ μέλε;" σημαίνει δὲ ὦ δείλαιε, ὦ πονηρέ· ἔνιοι δέ, ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμελημένε. πρόσφθεγμα· τουτέστι κάκιστε, κακοδαιμονέστατε, οἰκτρότατε.

ὦ μηδαμῶς (A Ach. 333). τὸ τοιοῦτο σχῆμα ἀποσιώπησις λέγεται. ἔστι καὶ παρὰ Δημοσθένει (18 22) τὸ ὅμοιον· "ἀλλ' ὦ, τί ἂν σέ τις εἰπὼν ὀρθῶς προσείποι;" εἰρηκότος γὰρ αὐτοῦ μηδαμῶς, εἶπεν ὦ μηδαμῶς.

ᾤμην ἐνόμισα.

ὠμησάμενος εἰς τὸν ὦμον ἀγαγών.

ὠμηστῶν ὠμὰ ἐσθιόντων· ἐν ἐπιγράμματι (AP 6 218) "δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς ἂν δόξα (an ὠκὺς ἀράξας) τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης."

ᾧ μή ἐστι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ" (S OR 296), τουτέστιν, ὁ μὴ τὸ ἔργον δεδοικὼς οὐδὲ τὸν λόγον.

ὠμή τις εἶναι "δέδοικα μὴ δόξῃς ὠμή τις εἶναι, δεινῶς οὕτω τιμωρουμένη." Νικόλαος ὁ Δαμασκηνός φησιν.

ὤμιλλα παιδιά τις, ἐν ᾗ ὁ εἰς τὸν κύκλον βαλὼν κάρυον, ὥστε ἐμμεῖναι, νικᾷ· Εὔπολις Χρυσῷ γένει "ἔπειτ' εἴσειμ' ἐνθάδε μείνας εἰς ὤμιλλαν." ἀπὸ συναιρέσεως· ἡ ἄμιλλα ὤμιλλα.

ὠμμένον λέγουσι δασέως τὸν ἑωραμένον.

ὠμοβοΐνας βύρσας.

ὠμοβόρων ὠμοφάγων.

ὠμογέρων ὁ παρ' ἡλικίαν γεγηρακὼς διὰ λύπην ἢ συμφοράν, καὶ πρεσβύτης οὗ ἡ κεφαλὴ οὐκ ἐπολιώθη.

ὤμοι φεῦ μοι. ἐπίρρημα σχετλιαστικόν.

ὠμοκρατής· (S Ai. 205) "ὠμοκρατὴς Αἴας θολερῷ κεῖται χειμῶνι νοσήσας," ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος· ἢ ὁ ὠμὸς καὶ καρτερικός· ἢ ὁ ὑπὸ ὠμότητος κεκρατημένος· ἢ ὁ γενναῖος ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος. Σοφοκλῆς (Ai. 548) "ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν," ἀπὸ μεταφορᾶς τῶν καρπῶν, οἳ ὅτε εἰσὶν ὠμοί, καὶ σκληρότεροί εἰσι καὶ ἰταμοί.

ὦμος τὸ μέλος τῦ σώματος.

ὠμοσμένος. ὀμωμοσμένος δέ.

ὠμοτόκησεν ἐδυστόκησεν, ἢ ἐξέτρωσεν.

ὡμωνυμηκώς. παρακείμενος.

ᾤμωξεν. Hom. Γ 364.

ὢν ἀΐδιος· "ἐγώ εἰμι ὁ ὤν" (Exod. 3 14).

ὤνατο (Hom. P 25) ὠνείδισεν, ἐξεφαύλισεν. ἢ ἠγόρασεν.

ὦνερ ὦ ἄνερ, κατὰ συναίρεσιν· "τὸν τέττιγ' ὄψει μ', ὦνερ, ἐφεζόμενον" (AP 6 120).

ὤνευον, παρὰ Θουκυδίδῃ, ἐκίνουν καὶ περιῆγον· ὄνος γὰρ τῦ μύλωνος τὸ κινόμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι. Θουκυδίδης (7 25) "ὤνευον ἀναδούμενοι τοὺς σταυρούς," τουτέστιν ὄνοις ἐχρῶντο. ἔστι δὲ ὄνος μηχανὴ ἐπ' ἄκρων τῶν ἀκατίων πηγνυμένη, ἀφ' ἧς περιβάλλοντες βρόχοις τοὺς σταυρῦς ῥᾳδίως ἐκ τῦ βυθῦ ἀνέσπων. ἔστι γὰρ ἡ μηχανὴ ἐπὶ τοσῦτον βιαιοτάτη ὥστε σαγήνην βαρεῖαν ὑπὸ δύο ἀνδρῶν ἀπόνως ἕλκεσθαι. καλῦσι δὲ τὴν μηχανὴν οἱ τὰς χαμαὶ λείχοντας ἕλκοντες ἁλιεῖς ἠλακάτην. ἐρρωμενεστέρα δὲ πρὸς τὴν ἀνέλκυσιν καθίσταται, ὅταν καὶ δίκρουν ξύλον πρὸ αὐτῆς τεθείη· ἐπ' εὐθείας γὰρ ἡ ἀντίσπασις τῶν ἀνελκομένων γίνεται.

ὠνή ἀγορά, καὶ ὠνησάμενος ἀγοράσας.

ὠνηματιαῖος.

ὠνητή τιμῆς κτητή. "καὶ τὴν χώραν ἐπιτρέπειν Τραϊανῷ Αὔγαρον, καίπερ ὅτι ὠνητὴν ἐκ Πακόρου ἔχει λαβὼν πολλῶν χρημάτων· καὶ τοῦτο ἀσμένῳ τῷ βασιλεῖ γίνεται" (Arrianus?)

ὠνητιᾶν ὠνήσασθαι βούλεσθαι.

ὠνητιῶν ἀγοραστικῶς ἔχων.

ὤνητο ὠφέλητο· "ὃς εἰ ἐπείθετο, ὤνητο ἄν."

ὤνθρωπος ἀντὶ τῦ ὁ ἄνθρωπος.

ὤνια πράσιμα, ἀγοραστά.

ὠνίους ἀγοραστάς, ἢ τιμίους. Προκόπιος (Pers. 2 12) "εἰ μὴ τὴν σωτηρίαν ὤνιον κτήσονται λύτρα διδόντες." Αἰλιανός "καὶ ἀπολύουσι δικασταὶ ὤνιοι αὐτόν." "συμβου-

λεύει ἀσπάσασθαι τὰ Ῥωμαίων, καὶ παρ' αὐτὰς ὤνιον ἀποκομίζειν τὴν μέταξαν" ⟨Menander⟩.

ὢν νῦν θερμοὶ βωμοί, ἐπὶ τῶν διὰ σπουδῆς τυγχανόντων. Ἀριστοφάνης δὲ ἐν Λημνίαις "τὴν κρατίστην δαίμον', ἧς νῦν θερμός ἐσθ' ὁ βωμός." μηνύει ὅτι ἀεί τινες παρὰ τοῖς Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο.

ὠνομάδατο ὠνομάζοντο, Ἰωνικῶς.

ὠνομασμένος ἐξάκουστος.

ὠνόμηνεν ὠνόμασεν.

ὦνον ὠφέλειαν, τιμήν· ⟨Babr. 6 6⟩ "τί σοι τὸ κέρδος; ἢ τίν' ὦνον εὑρήσεις;" καὶ ὦνος ἡ τιμή.

ὠνοῦμαι αἰτιατικῇ, ὠνεῖται δὲ γενικῇ· "τοῦτο δ' ἐστὶν ὃ τῶν εὑρισκομένων ἁπάντων χρημάτων Φίλιππος ὠνεῖται" ⟨Demosth. 9 9⟩.

ὠνούμενος ἀγοράζων· ὠνῶ γὰρ τὸ ῥῆμα.

ᾠνοχόει ἐκίρνα· "ᾠνοχόει δὲ οὐδὲ εἷς, οὐδὲ νομίζεται παρὰ τοῖς ἑῴοις βαρβάροις ἐμπίνειν δειπνοῦντας."

ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας ⟨A Eq. 158⟩, ἐπὶ τῶν παρ' ἐλπίδας τιμωμένων.

Ὦξος ποταμὸς ἐν τῇ Βακτρίων χώρᾳ, ὃς Ἀλεξάνδρῳ ἄπορος ἐφαίνετο. τὸ μὲν γὰρ εὖρος ἦν ἐς ἓξ μάλιστα σταδίυς, βάθος δὲ οὐ πρὸς λόγον τοῦ εὔρυς, ἀλλὰ πολὺ δή τι βαθύτερος καὶ ψαμμώδης, καὶ ῥεῦμα ὀξύ, ὡς τὰ καταπηγνύμενα ὑπ' αὐτῦ τῦ ῥῦ ἐκστρέφεσθαι ἐκ τῆς γῆς ὐ χαλεπῶς, οἷα δὴ οὐ βεβαίως ἐπὶ τῆς ψάμμου ἱδρυμένα ⟨Arrian. Anab. 3 29⟩.

ὠξυθυμώθη ὠργίσθη, ὠξύνθη.

ᾠόν. καὶ ᾠοτόκον· "ὅτι ἀπὸ τῶν τετραπόδων ἡ χελώνη μόνη ᾠοτοκεῖ."

a ὠόπ κέλευσμα τῶν ἐρεσσόντων, καταπαῦον τὴν κωπηλασίαν ⟨sch. A Av. 1395⟩.

b ὠόπ ἐλατικὸν ἐπίφθεγμα ἐπὶ πλοίυ.

ὠὸπ ὄπ ⟨A Ran. 208⟩ ἐλατῶν ἐπίφθεγμα.

ὠόπ, παραβαλοῦ Ἀριστοφάνης Βατράχοις ⟨182⟩, τυτέστιν ὅρμισον τῇ γῇ τὴν ναῦν· ἐν τῇ νηὶ γὰρ ὁ Χάρων λέγει.

Ὠοτοκάταξις ὄνομα κύριον. cf. v. ὠτοκάταξις.

ὦ οὗτος σύ· ⟨S Ai. 89⟩ "ὦ ὗτος, Αἴαν." διασὴ ἡ κλῆσις.

ᾠοφόρος ἰχθῦς.

ὠόψ ἐπίφθεγμα τῶν ἀφιέντων ἅμα τρέχειν ἤ τι τοιοῦτον ποιεῖν.

ὦ παῖ· Σοφοκλῆς ⟨Ai. 550⟩ "ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός."

ὦ πάντα σὺ τολμῶν ⟨A Nub. 374⟩, τυτέστιν ὦ θρασύτατε καὶ τολμηρότατε.

Ὦπας ὄνομα κύριον.

ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων, εἴθε φαύλως ὥσπερ εὗρες ἐκβάλοις τὴν ἔνθεσιν· ᾄσαιμι γὰρ τότ' ἂν μόνον 'πῖνε πῖν' ἐπὶ συμφοραῖς.' τὸν Ἰυλίυ τ' ἂν οἴομαι γέροντα πυροπίπην ἡσθέντ' ἰηπαιωνίσαι καὶ βακχέβακχον ᾆσαι" Ἀριστοφάνης ⟨Eq. 404⟩. πρὸς Κλέωνα ὁ λόγος. ὦ ἐπὶ πάσῃ προδοσίᾳ ἐξεταζόμενε καὶ κακίᾳ. μεταφορικῶς δὲ εἶπεν ἅπαν τὸ νόημα ἀπὸ τῶν μελισσῶν. ὥσπερ αἱ μέλισσαι, φησί, πάντων ὥσπερ ἐκ τῦ ῥᾴστυ καὶ εὐχερῶς ἔτυχες, ἐπεὶ μηδὲ ἐλπίσας εἰς τῦτο δόξης προελθεῖν ἔδοξεν εὐδοκιμεῖν ἐκ τῦ περὶ Πύλον κατορθώματος, ὅτως καὶ ἀποβαλεῖς, καὶ τότε ᾄσαιμι τὸ Σιμωνίδου "πῖνε πῖν' ἐπὶ συμφοραῖς." γέροντα δὲ πυροπίπην, ἐπεὶ ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διεβάλλετο· ἢ ἐν τῷ πρυτανείῳ φυλάσσοντος τὸν σῖτον. βακχέβακχον ᾆσαι ἀντὶ τῦ εὐφημῆσαι τὸν Διόνυσον· Βάκχος γὰρ ὁ Διόνυσος.

ὦπες οἱ ὀφθαλμοί.

Ὦπις ὄνομα πόλεως.

ᾧ πλεῖον ἧλως αἱμύλης ἀλώπεκος, παροιμία.

ὠπόσ' ⟨an χὠπόσ'⟩ αἴσχιστ' ἐν ἀνθρώποις ἔργα γίνεται ⟨S OR 1407⟩.

ὦπται ὡράθη.

ὠπτημένος καὶ ὠπτῆσθαι.

ὤπυιεν ἐγεγαμήκει. Hom. Ν 429.

ὥρα καιρὸς ἐπιτήδειος· "εἰ μὲν εἰρήνης a
ἐπιθυμοῦσιν, ὥρα αὐτοῖς παραδοῦναι τὰ ὅπλα." καὶ ὁ Θεολόγος "ὥρα σοι καὶ βασιλείαν οὐρανῶν ἀτιμάζειν, ὅτι κόκκῳ σινάπεως ἀπεικάζεται." καὶ αὖθις Προκόπιος ⟨Arc. 2⟩ "ὥρα σοι μὴ περιιδεῖν ἐμὲ μὲν πρὸς τῇ τῆς οἰκίας διαφθορᾷ καὶ χρημάτων ἐξερημένον τοσοῦτον πλῆθος."

ὥρα κάλλος, καιρῦ τροπή, εὐμορφία· b
Αἰλιανός "γυνὴ τὴν ὥραν διαπρεπής, σώφρων τὸν τρόπον." ψιλῶς δὲ φροντίς, ἔνθεν ὀλίγωρον λέγομεν τὸν ὀλίγην φροντίδα

73

ἔχοντα· Πλάτων "οὐδῶν καὶ περὶ τῶνδε πλευρῶν οὐδεμίαν ὥραν ἔχεις."

c ὥρα τὸ δωδέκατον τῆς ἡμέρας, ἀπὸ τοῦ διορίζειν τὰ διαστήματα τῆς ἡμέρας.

ὥρα γάμων ἀκμή, γάμων καιρός.

ὥρα ἔτους τὸ ἔαρ καὶ τὸ θέρος. καιρὸς ἔτους.

ὥρα ἡ φροντίς· Αἰλιανός "ἀνδρὶ ἐπιόρκῳ καὶ τὰ θεῖα ἐν μηδεμιᾷ ὥρᾳ τιθεμένῳ, ἀπάταις δὲ καὶ ψευδολογίαις συμβιοῦντι καὶ οὐδὲν οὐδέποτε λέγοντι ὑγιές, καὶ ἐντεῦθεν πλουτοῦντι πλοῦτον ἐπίρρητον."

a ὧραι καιροί.

b ὧραι. Προδίκου βιβλίον ἔστιν ἐπιγραφόμενον Ὧραι - - - ἡδονῶν (cf. v. Πρόδικος b).

ὡραιοκόμος ὁ τοῦ κάλλους ἐπιμελούμενος.

ὡραιοπολῶ τὸ μετὰ τῶν νέων ἀναστρέφομαι.

ὡραῖος ὁ εὔμορφος.

ὡραϊσμένη κεκαλλωπισμένη.

Ὡραίχου.

ὡρακιάσας ἐκλυθείς, ἢ ὠχριάσας, ὡς Ἀριστοφάνης ἐν τῇ Εἰρήνῃ (701) "ὡρακιάσας Κρατῖνος" ἀντὶ τοῦ λιποψυχήσας· εἰς οἰνοφλυγίαν δὲ ὁ Κρατῖνος διαβάλλεται. ἢ ὠχριάσας, ὑπὸ ἐκλύσεως σκοτωθείς, ᾧ ἕπεται τὸ ὠχριᾶν. τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν πρῶτον ἡ χροιά. Ἀριστοφάνης "οὐ γὰρ ἐξηνέσχετο ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων." καὶ ὡρακιᾶσαι λέγουσι τὸ ὑπὸ φόβου ὠχριᾶσαι, θλιβομένης τῆς καρδίας· τοῦτο δὲ πολλοῖς γίνεται· παρὰ τὸ τὴν ὥραν αἰκίζεσθαι, ὅ ἐστι τὴν μορφήν. ἢ ὡρακιῶ φροντίζω· ὥρα γὰρ ἡ φροντίς· Ἡσίοδος (O. 30) "ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων." ἐκ δὲ φροντίδος ἐκλύεταί τις. ὡρακίζω γὰρ τὸ ῥῆμα.

Ὡραπόλλων Φαινεβύθεως κώμης τοῦ Πανοπολίτου νομοῦ, γραμματικὸς διδάξας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ, εἶτα ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου, ἔγραψε τεμενικά, ὑπόμνημα Σοφοκλέους, Ἀλκαίου, εἰς Ὅμηρον. λαμπρὸς μὲν ἐπὶ τῇ τέχνῃ ἄνθρωπος, καὶ τῶν πάλαι λογιμωτάτων γραμματικῶν οὐδέν τι μεῖον κλέος ἀπενεγκάμενος. - - - (cf. v. Ἁρποκρᾶς) Αἰγύπτιος, ἐπὶ Ζήνωνος βασιλέως. ζητῶν δὲ ὁ Νικομήδης τὸν Ἁρποκρᾶν ἦν, καὶ μὴ εὑρίσκων αὐτόν. ὁ δὲ Ἰσίδωρος ὁ φιλόσοφος, τοῦτο μαθὼν πέμπει διὰ γραμμάτων δηλούντων τοὺς ἐπιόντας. ἑάλω δὲ ὁ γραμματηφόρος, καὶ ὡμολόγει τὸν πέμψαντα· καὶ τὸν Ὡραπόλλωνα καὶ τὸν Ἡραΐσκον αἱροῦσι, καὶ νεύροις ἀνακρεμάσαντες ἀπὸ τῆς χειρὸς ἑκάτερον ἀπῄτουν τὸν Ἁρποκρᾶν καὶ Ἰσίδωρον. ὁ δὲ Ὡραπόλλων οὐκ ἦν τὸ ἦθος φιλόσοφος, ἀλλά τι καὶ ἐν βυθῷ τῆς περὶ θεοῦ δόξης ὢν ἤδει ἀποκρυπτόμενος. ὁ γὰρ Ἡραΐσκος προεῖπεν ὡς αὐτομολήσει πρὸς ἑτέρους καὶ καταπροήσεται τοὺς πατρίους νόμους ὁ Ὡραπόλλων. ὃ καὶ συνέβη γενέσθαι· ἀπ' οὐδεμιᾶς γὰρ ἀναγκαίας τύχης εἶναι δοκούσης αὐθαίρετον εἵλετο τὴν μεταβολήν, ἐπὶ ἐλπίσιν ἴσως ἀπλήστου τινὸς ἐπιθυμίας. οὐ γὰρ ἄλλο τι ἔστι προχειρίσασθαι ῥᾳδίως εἰς ἀπολογίαν τῆς μεταστάσεως. [ὡς ἔοικε, χριστιανὸς ἐγεγόνει.]

Ὠράτ ὄνομα κύριον.

ὡρατίωνα.

ὠργασμένος ἀντὶ τοῦ μεμαλαγμένος, ἀναδεδευμένος· Πλάτων Θεαιτήτῳ (p. 194 C) "ὅταν μὲν ὁ κηρός του ἐν τῇ ψυχῇ βαθύς τε καὶ πολὺς καὶ λεῖος καὶ μετρίως ὠργασμένος." ὀργάζειν δὲ κυρίως τὸ ταῖς χερσὶ τὸν πηλὸν ἀναδεύειν καὶ φυρᾶν.

ὠργωμένοις ἐκτεταμένοις, ἐπιθυμοῦσιν.

ὤργων· "οἳ δὲ καὶ προσκτήσασθαι τὴν ἀλλήλων δόξαν σπουδὴν ποιούμενοι ὤργων," καὶ αὖθις (Procop. Goth. 4) "οἳ δὲ ὤργων τοῖς πολεμίοις ὁμόσε ἰέναι."

Ὠρείθυια ὄνομα Νηρηίδος· Ὅμηρος (Σ 48) "Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμός τ' Ἀμάθεια." τοῦ Βορέου ἐρωμένη.

ὡρεῖον ταμιεῖον. "ὅτι ἐν τῷ καλουμένῳ ὡρείῳ, ὅ ἐστι μόδιος, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ, ὅς νῦν ἐστι τοῦ μυρεψοῦ, ἵστατο μόδιος χαλκοῦς" (Codin. orig. Cp. p. 35).

Ὠρείτης ἀπὸ τόπου τοῦ Ὠρεοῦ.

ὠρέξατο (Hom. Ψ 99) ἐξέτεινεν.

Ὠρεός πόλις.

ὧρες αἱ γυναῖκες.

Ὡρήβ ὄνομα κύριον.

ὠρημάτων φυλαγμάτων.

ὠρήσσονται φυλάσσονται.

ὥρια τὰ κατὰ καιρόν.

Ὠριγένης ὁ καὶ Ἀδαμάντιος, ἀνὴρ ἐλλογιμώτατος καὶ κατὰ πᾶσαν παιδείαν εἰς ἄκρον ἐξησκημένος, ἀκροατὴς γενόμενος Ἀμμωνίου τοῦ φιλοσόφου τοῦ ἐπίκλην Σακκᾶ, τοῦ

πλείστην ἐπίδοσιν ἐπὶ φιλοσοφίᾳ ἐσχηκότος.
διά τοι τοῦτο καὶ εἰς τὴν τῶν λόγων ἐμπει-
ρίαν πολλὴν παρὰ τοῦ διδασκάλου τὴν ὠφέ-
λειαν ἐκληρώσατο. συνῆν τε γὰρ ἀεὶ τῷ
Πλάτωνι ὁ προειρημένος ἀνήρ, τοῖς τε Νου-
μηνίου καὶ Κρονίου Ἀπολλοφάνους τε καὶ Λογ-
γίνου καὶ Μοδεράτου Νικομάχου τε καὶ τῶν
ἐν τοῖς Πυθαγορείοις ἐλλογίμων ἀνδρῶν ὡ-
μίλει συγγράμμασιν. ἐχρῆτο δὲ καὶ Χαιρή-
μονος τοῦ στωικοῦ Κορνούτου τε βίβλοις, παρ'
ὧν τὸν μεταληπτικὸν τῶν παρ' Ἕλλησι μυ-
στηρίων ἔγνω τρόπον. καὶ ἁπαξαπλῶς πολ-
λὴν ἔσχε τὴν ἐπιστήμην τῶν ἐν φιλοσοφίᾳ
δογμάτων, οὐ μόνον τῶν Ἑλληνικῶν ἀλλὰ
καὶ τῶν θείων τε καὶ ἡμετέρων, τουτέστι
τῶν χριστιανῶν. καὶ τί ἂν τις λέγοι περὶ
τῆς ἐκείνου μικροῦ δεῖν ἀθανάτου καὶ μακα-
ρίας φύσεως, ὅτι περ διαλεκτικὴν γεωμετρι-
κὴν ἀριθμητικὴν μουσικὴν γραμματικὴν καὶ
ῥητορικὴν καὶ πάντων τῶν φιλοσόφων τὰ
δόγματα οὕτως ἐξέμαθεν ὥστε σπουδαστὰς
τῶν κοσμικῶν πραγμάτων ἀκροατὰς ἐσχη-
κέναι καὶ ἐξηγεῖσθαι αὐτοῖς ἑκάστοτε, συν-
δρομὰς δὲ πολλὰς πρὸς αὐτὸν γίνεσθαι. τοῦ
δέ γε Ὠριγένους καὶ τῆς μεγαλοφυΐας αὐτοῦ
καὶ Πορφύριος ὁ κατὰ χριστιανῶν λυττή-
σας μνημονεύει, καί φησιν "ὁ δὲ τρόπος
τῆς ἀτοπίας ἐξ ἀνδρός, ᾧ κἀγὼ κομιδῇ νέος
ὢν ξυντετύχηκα, σφόδρα εὐδοκιμήσαντος καὶ
ἔτι εὐδοκιμοῦντος δι' ὧν καταλέλοιπε συγ-
γραμμάτων, παρειλήφθω Ὠριγένους, οὗ κλέος
παρὰ τοῖς διδασκάλοις τούτων τῶν λόγων
μέγα διαδέδοται. καὶ αὗται μὲν αἱ παρὰ
τῶν ἔξωθεν μαρτυρίαι τοῦ ἀνδρός, καὶ μά-
λιστα τῶν ἐχθρῶν." ταῦτα Πορφυρίῳ κατὰ
τὸ τρίτον σύνταγμα τῶν γραφέντων αὐτῷ
κατὰ χριστιανῶν εἴρηται, ἐπαληθεύσαντι μὲν
περὶ τῆς τοῦ ἀνδρὸς ἀσκήσεως, ψευσαμένῳ
δὲ σαφῶς περὶ τῶν λοιπῶν· τί γὰρ οὐκ ἔμελ-
λεν ὁ κατὰ χριστιανῶν μανείς; ἐν οἷς αὐτὸν
μέν φησιν ἐξ Ἑλλήνων μεταθέσθαι, τὸν δ'
Ἀμμώνιον ἐκ βίου τοῦ κατὰ θεοσέβειαν ἐπὶ
τὸν ἐθνικὸν ἐκπεσεῖν. ταῦτα μὲν εἰς παρά-
στασιν τῆς Ὠριγένους καὶ περὶ τὰ Ἑλλήνων
μαθήματα πολυπειρίας, περὶ ἧς πρός τινας
μεμψαμένους αὐτῷ διὰ τὴν περὶ ἐκεῖνα σπου-
δὴν ἀπολογούμενος ἐν ἐπιστολῇ τινὶ ταῦτα
γράφει· "ἐπεὶ δὲ ἀνακειμένῳ μοι τῷ λόγῳ,
τῆς φήμης διατρεχούσης περὶ τῆς ἕξεως
ἡμῶν, προσῄεσαν ὁτὲ μὲν αἱρετικοὶ ὁτὲ δὲ
ἀπὸ τῶν Ἑλληνικῶν μαθημάτων, καὶ μά-
λιστα τῶν ἐν φιλοσοφίᾳ, ἔδοξεν ἐξετάσαι τά
τε τῶν αἱρετικῶν δόγματα καὶ τὰ ὑπὸ τῶν
φιλοσόφων περὶ ἀληθείας λέγειν ἐπαγγελλό-
μενα." καὶ ταῦτα μὲν τοιαῦτα περὶ ἀσκή-
σεως ἀπολογουμένῳ εἴρηται (Euseb. 6 19). b

κατὰ τοῦτον δὴ τὸν χρόνον καὶ ἡ Ἀλε-
ξάνδρου τοῦ Ῥωμαίων βασιλέως μήτηρ Μαμ-
μαία εἰς λόγους Ὠριγένει συνῆλθεν ἐν Ἀν-
τιοχείᾳ, καὶ παρ' αὐτοῦ κατηχήθη τὸν λό-
γον (cf. Cedren. p. 256).

ἐξ ἐκείνου δὲ τοῦ χρόνου τῶν εἰς τὰς θείας c
γραφὰς ὑπομνημάτων ἐγένετο ἀρχή, Ἀμβρο-
σίου εἰς τὰ μάλιστα παρορμῶντος αὐτὸν μυ-
ρίαις ὅσαις οὐ προτροπαῖς ταῖς διὰ λόγων
καὶ παρακλήσεσιν αὐτοῦ μόνον, ἀλλὰ καὶ
ἀφθονωτάταις τῶν ἐπιτηδείων χορηγίαις.
ταχυγράφοι τε γὰρ αὐτῷ πλείους ἢ ζ' τὸν
ἀριθμὸν παρῆσαν ὑπαγορεύοντος, χρόνοις
τεταγμένοις ἀλλήλους ἀμείβοντες, βιβλιογρά-
φοι τε οὐχ ἥττους, ἅμα καὶ κόραις ἐπὶ τῷ
καλλιγραφεῖν ἠσκημέναις· ὧν ἁπάντων τὴν
δέουσαν τῶν ἐπιτηδείων ἄφθονον χορηγίαν
ὁ Ἀμβρόσιος παρεστήσατο. καὶ μὴν καὶ ἐν
τῇ περὶ τὰ θεῖα λόγια ἀσκήσει τε καὶ σπου-
δῇ προθυμίαν ἄφατον αὐτῷ συνεισέφερεν,
ᾗ καὶ μάλιστα αὐτὸν προέτρεπεν ἐπὶ τὴν
τῶν ὑπομνημάτων σύνταξιν (Euseb. 6 23).

τοσαύτην δὲ ἔσχε σπουδὴν περὶ τὰς θείας d
γραφὰς ὥστε καὶ τὴν Ἑβραϊκὴν διάλεκτον,
ἐναντιουμένην τῇ τε ἡλικίᾳ καὶ τῇ οἰκείᾳ
φύσει, ἐκμαθεῖν, καὶ δίχα τῶν ο' ἑρμηνευ-
τῶν ἄλλας ἐκδόσεις εἰς ἓν συναγαγεῖν, Ἀκύ-
λα λέγω τοῦ Ποντικοῦ καὶ Θεοδοτίωνος καὶ
Συμμάχου τῶν Ἐβιωναίων (αἵρεσις δέ ἐστιν
αὐτῶν, ψιλὸν τὸν Χριστὸν ἄνθρωπον δοξα-
ζόντων· οἵτινες τὸ κατὰ Ματθαῖον εὐαγγέ-
λιον ὑπεμνημάτισαν, δι' οὗ καὶ τὸ ἴδιον
δόγμα βεβαιῶσαι σπεύδουσιν), ὁμοίως δὲ πέμ-
πτην καὶ ἕκτην καὶ ἑβδόμην ἔκδοσιν (So-
phronius).

ἐκ τῶν Εὐσεβίου τοῦ Παμφίλου ἱστοριῶν e
(6 16) περὶ Ὠριγένους. τοσαύτη δὲ εἰσήγετο
τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμέ-
νη ἐξέτασις ὡς μόνας πρωτοτύπους αὐτοῖς
Ἑβραίων στοιχείοις γραφὰς κτῆμα ἴδιον
ποιήσασθαι, ἀνιχνεῦσαί τέ τινας τῶν ἑτέ-
ρων παρὰ τοὺς ο' τὰς ἱερὰς γραφὰς ἑρμη-
νευσάντων ἐκδόσεις, καί τινας ἑτέρας παρὰ
τὰς κατημαξευμένας ἑρμηνείας ἐναλλαττού-

σας, τὴν Ἀκύλȣ καὶ Συμμάχȣ καὶ Θεοδοτίωνος, ἐφευρεῖν· ἃς ἐξ ἀπορρήτων ȣ̓κ οἶδ' ὁπόθεν τυχὸν τῷ πάλαι λανθανȣ́σας χρόνῳ εἰς φῶς ἀνιχνεύσας προήγαγεν. ἐν γε μὴν τοῖς ἑξαπλοῖς τῶν ψαλμῶν μετὰ τὰς ἐπισήμȣς δ' ἐκδόσεις ȣ̓ μόνον πέμπτην ἀλλὰ καὶ ἕκτην καὶ ἑβδόμην παραθεὶς ἑρμηνείαν, ἐπὶ μιᾶς αὖθις σεσημείωται ὡς ἐν Ἱεριχοῖ εὑρημένης ἐν πίθῳ. ταύτας δὲ ἁπάσας εἰς ἓν συναγαγών, διελθών τε πρὸς κῶλον καὶ ἀντιπαραθεὶς ἀλλήλαις μετὰ καὶ αὐτῆς τῆς Ἑβραίων σημειώσεως, τὰ τῶν λεγομένων ἑξαπλῶν ἡμῖν ἀντίγραφα καταλέλοιπεν, ἰδίως δὲ τὴν Ἀκύλȣ καὶ Συμμάχȣ καὶ Θεοδοτίωνος ἔκδοσιν ἅμα τῇ τῶν ό ἐν τοῖς τετραπλοῖς ἐπισκευάσας.

f καὶ ἁπλῶς πᾶσαν γραφὴν ὑποσημηνάμενος ἐκκλησιαστικὴν πλεῖστα καὶ ἀναρίθμητα καταλέλοιπεν, ὡς ἐξ ἐκείνȣ πάντας τȣ̀ς μετέπειτα τῆς ἐκκλησίας διδασκάλȣς τὰς ἀφορμὰς εἰληφέναι, ὡς ὁ Θεολόγος φάσκει Γρηγόριος "Ὠριγένης ἡ πάντων ἡμῶν ἀκόνη." ȣ̓ μόνον δὲ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, ἀλλὰ καὶ τοῖς τῶν ἔξωθεν πολλὴν παρείχετο τὴν ὠφέλειαν αἱρετικοῖς τε καὶ φιλοσόφοις. μόνον ȣ̓χὶ πρὸς τοῖς θείοις καὶ τὰ φιλόσοφα παρ' αὐτȣ̃ παιδευόμενοι. εἰσῆγέ τε γὰρ ὅσȣς εὐφυῶς ἔχοντας ἑώρα καὶ ἐπὶ τὰ φιλόσοφα μαθήματα, γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἆλλα παιδεύματα παραδιδȣ́ς, εἴς τε τὰς αἱρέσεις τὰς παρὰ τοῖς φιλοσόφοις προάγων, καὶ τὰ παρὰ τȣ́τοις συγγράμματα διηγȣ́μενος, ὑπομνηματιζόμενός τε καὶ θεωρῶν εἰς ἕκαστα, ὡς ἤδη μέγαν καὶ παρ' αὐτοῖς Ἕλλησι φιλόσοφον τὸν ἄνδρα κηρύττεσθαι. μάρτυρες δὲ τῆς περὶ ταῦτα αὐτȣ̃ κατορθώσεως αὐτῶν Ἑλλήνων οἱ κατ' αὐτὸν ἠκμακότες φιλόσοφοι, ὧν ἐν συγγράμμασι πολλὴν μνήμην εὕρομεν τȣ̃ ἀνδρός, τοτὲ μὲν αὐτῷ προσφωνȣ́ντων, τοτὲ δὲ οἷα διδασκάλῳ ἐς τὴν αὐτȣ̃ κρίσιν τȣ̀ς ἰδίȣς ἀναφερόντων πόνȣς.

g τῷ δὲ Ὠριγένει ἐπὶ τῆς Καισαρείας τὰ συνήθη πράττοντι πολλοὶ προσῄεσαν, ȣ̓ μόνον τῶν ἐπιχωρίων ἀλλὰ καὶ τῆς ἀλλοδαπῆς μυρίοι φοιτηταί, τὰς πατρίδας ἀπολείποντες. ὧν ἐπισήμȣς μάλιστα ἔγνωμεν Θεόδωρον, ὃς ἦν αὐτὸς ȣ̔̃τος ὁ καθ' ἡμᾶς ἐπισκόπων διαβόητος Γρηγόριος ὁ Θαυματȣργός, ὅ τε τȣ́τȣ ἀδελφὸς Ἀθηνόδωρος· οἷς ἀμφὶ τὰ Ἑλλήνων καὶ Ῥωμαίων μαθήματα δεινῶς ἐπτοημένοις φιλοσοφίας ἐνθεὶς ἔρωτα τῆς προτέρας σπȣδῆς τὴν θείαν ἄσκησιν ἀντικαταλλάξασθαι προετρέψατο. πέντε δὲ ὅλοις ἔτεσιν αὐτῷ συγγενόμενοι τοσαύτην ἀπηνέγκαντο περὶ τὰ θεῖα βελτίωσιν ὡς ἔτι νέȣς ἄμφω ἐπισκοπῆς τῶν κατὰ Πόντον ἐκκλησιῶν ἀξιωθῆναι (Euseb. 6 30).

τῷ δὲ Ὠριγένει κατὰ τȣ̃τον τὸν χρόνον h
τὰ εἰς τὸν Ἡσαΐαν, ἐν ταὐτῷ δὲ καὶ εἰς τὸν Ἰεζεκιὴλ συνετάττετο, ὧν εἰς μὲν τὸ τρίτον μέρος τȣ̃ Ἡσαΐȣ μέχρι τῆς ὁράσεως τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ λ' εἰσὶ τόμοι, εἰς δὲ τὸν Ἰεζεκιὴλ έ καὶ κ'· ȣ̔̃ς καὶ μόνȣς εἰς τὸν πάντα πεποίηται προφήτην. ἔτος δ' ἦν αὐτῷ ἑξηκοστὸν ἐν ᾧ ταῦτα συνέταττεν· ἐν ᾧ καὶ ὁ μακάριος μάρτυς Πάμφιλος μαρτυρίῳ τὸν βίον διεξῆλθε (id. 32).

τὸ δὲ εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον i
ἐξηγητικὸν σημαίνει τὰ πρότερα έ ἐπ' Ἀλεξανδρείας ἔτι ὄντα αὐτὸν συντάξαι. τῆς δὲ εἰς τὸ πᾶν εὐαγγέλιον πραγματείας μόνοι β' καὶ κ' περιῆλθον τόμοι, ιβ' δὲ τῶν εἰς τὴν γένεσιν, καὶ εἰς τȣ̀ς πρώτȣς δὲ έ καὶ κ' ψαλμȣ́ς, ἔτι τε τὰ εἰς τȣ̀ς θρήνȣς, καὶ τὰ περὶ ἀναστάσεως, καὶ τὰ περὶ ἀρχῶν. γράφει δὲ καὶ τȣ̀ς ἐπιγεγραμμένȣς στρωματεῖς, ὄντας τὸν ἀριθμὸν ί· ȣ̔̃ς καὶ συνέταξε κατὰ τὴν Ἀλεξάνδρȣ βασιλείαν (id. 24). τὸν μέντοι πρῶτον ἐξηγȣ́μενος ψαλμὸν ἔκθεσιν πεποίηται τȣ̃ τῶν ἱερῶν γραφῶν τῆς παλαιᾶς διαθήκης καταλόγȣ, ὧδέ πως λέγων κατὰ λέξιν "οὐκ ἀγνοητέον δὲ ὡς εἶναι τὰς ἐνδιαθήκȣς βίβλȣς, ὡς Ἑβραῖοι παραδιδόασι, β' καὶ κ', ὅσος ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐςίν." εἶτα ἐπιφέρει λέγων "εἰσὶ δὲ αἱ κβ' βίβλοι καθ' Ἑβραίȣς αἵδε, Γένεσις, Βαρησίθ, ὅ ἐστιν ἐν ἀρχῇ, καὶ αἱ λοιπαὶ καθεξῆς" (id. 25).

ἔζησε δὲ ἕως Γάλλȣ καὶ Βολȣσιανȣ̃, τȣ- k
τέστιν ἕως θ' καὶ ξ' ἐτῶν τῆς ἡλικίας αὐτȣ̃, καὶ ἐκοιμήθη ἐν Τύρῳ, ἐν ᾗ καὶ ἐτάφη. ὁ δὲ πατὴρ αὐτȣ̃ Λεωνίδης μαρτυρίῳ τῷ διὰ Χριστὸν ἐτελειώθη.

Ὠριγένης Λεωνίδην εἶχε πατέρα, ἐπίσκο- l
πον καὶ μάρτυρα, ἐπὶ Σεβήρȣ βασιλέως ἀκμάσας. ὅστις Ὠριγένης ἐν Ἀλεξανδρείᾳ τυγχάνων μεγάλην εἰς τὸν θεῖον λόγον σπȣδὴν κατεβάλετο. ȣ̔̃ ζηλωταὶ πολλοὶ καὶ ἄλλοι καὶ μάλιστα Ἀμβρόσιος ἐγένετο, ὃς ἐς γνῶσιν

αὐτῷ ἀφικέσθαι σπουδάσας ἀπέστη τῆς Οὐαλεντίνου καὶ Μαρκίωνος αἱρέσεως. πλεῖστοι δὲ καὶ τῶν ἔξωθεν φιλοσόφων πρὸς αὐτὸν φοιτῶντες μεγίστην ὠφέλειαν ἐκαρποῦντο· μέγας γὰρ καὶ παρ' αὐτοῖς ἐνομίζετο, παραδιδοὺς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἄλλα προπαιδεύματα. διόπερ οὐκ ὀλίγοι τῶν παρ' Ἕλλησι φιλοσόφων μέμνηνται αὐτοῦ ὡς διδασκάλου. καὶ γὰρ εὐφυὴς παιδόθεν ὑπῆρχε σφόδρα καὶ ζητητικὸς λίαν, ὃς ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸ τῆς θείας γραφῆς βούλημα πυνθανόμενος βαθύτερον ἠρεύνα. τοῦτον ἐπέπληττεν ὁ πατὴρ μηδὲν ὑπὲρ ἡλικίαν περαιτέρω ζητεῖν, νύκτωρ δὲ ἐπιστὰς καὶ ἰδὼν τὰ στέρνα ὡς θείου πνεύματος ἔνδοθεν αὐτοῖς ἀφιερωμένου κατεφίλει, καὶ τῆς εὐτεκνίας ἑαυτὸν ἐμακάριζεν. ἁγνείαν δὲ καὶ ἐγκράτειαν τοσαύτην ἤσκησεν ἐκ νέου τοῦ σώματος ὡς ὀβολοῖς δ' καὶ μόνοις πρὸς διατροφὴν ἑκάστης ἡμέρας ἀρκούμενος. καὶ μέντοι καὶ πολλοῖς ἔτεσι τοῦτο ποιῶν διετέλει· καὶ ἐπ' ἐδάφους καὶ ψιάθου καθεύδων, καὶ ὀλίγον καιρὸν τῆς νυκτὸς ἀναπαυόμενος, τὸν πλείονα εἰς τὴν ἱερὰν μελέτην τῶν ἱερῶν λογίων διήνυε. καὶ ἐν τούτοις ἐπεκτεινόμενος, ἐπί τε ἀγρυπνίᾳ καὶ ἀσιτίᾳ καὶ γυμνότητι ἑαυτὸν ὑπωπιάζων, τοσοῦτον κατεδάμασε τὴν ἀκμὴν τοῦ σώματος ὡς ὁρᾶσθαι παντελῶς αὐτὸν ἀπεσκληκέναι· οἴνου γὰρ καὶ ἐλαίου καὶ τῶν λοιπῶν ἀπεχόμενος ἀνατροπὴν τοῦ θώρακος μεγίστην ὑπέμεινεν. ἔνθεν γέ τοι διαβόητος γενόμενος ὡς διαπρέπων ἔργῳ καὶ λόγῳ, καὶ πολλοὺς Ἕλληνας τὴν εἰδωλομανίαν βδελύττεσθαι πείσας, μαρτυρίου στέφανον ἀναδήσασθαι παρεσκεύασε. πολλῆς οὖν φήμης περὶ αὐτὸν τρεχούσης, καὶ πολλῶν μακρόθεν πρὸς αὐτὸν συρρεόντων, οὐ μόνον Ἕλληνας καὶ φιλοσόφους καὶ αἱρετικοὺς ἐλλογίμους πρὸς τὴν εὐσέβειαν εἵλκυσεν, ἀλλὰ καὶ τοὺς ὄντας χριστιανοὺς μᾶλλον στοιχειώσας ἐπεβεβαίωσεν. ὃν ὁ προλεχθεὶς Ἀμβρόσιος ἱκετεύσας πολλὰ καὶ παραβιασάμενος ἐν Καισαρείᾳ, καὶ ταχυγράφους αὐτῷ παραστήσας ζ, πλείους δὲ καλλιγράφους, ἑρμηνεῦσαι τὰς θείας γραφὰς αὐτὸν πεποίηκε. καὶ ὃ μὲν τὴν δέουσαν χρείαν παρεῖχεν, ὃ δὲ ἐπὶ σχολῆς γενόμενος ὑπηγόρευε τοῖς ταχυγράφοις, καὶ οἱ βιβλιογράφοι σὺν γυναιξὶν ἔγραφον ἐπὶ τῷ καλλιγραφεῖν ἐξησκημέναις. πᾶσάν τε θείαν γραφὴν ἡρμήνευσεν ἐπὶ ἔτη ιή. λέγεται δὲ ὅτι ἑξακισχιλίας βίβλους συνέταξε. τοσοῦτον γὰρ ζῆλον ἐς τὴν ἐξήγησιν τῶν θείων λογίων ὁ Ἀμβρόσιος ἐπεδείξατο ὥστε τὴν πολλὴν αὐτοῦ σπουδὴν Ὠριγένης μαρτυρῶν γράφει πρός τινα λέγων "ὁ ἱερὸς θεοῦ καὶ γνησίως ἀνακείμενος Ἀμβρόσιος πολλὰ προσηγόρευσεν· ὅστις νομίζων με φιλόπονον εἶναι καὶ πάνυ διψᾶν τοῦ θείου ἤλεγξε τῇ ἰδίᾳ φιλοπονίᾳ καὶ τῷ πρὸς τὰ μαθήματα ἔρωτι. ὅθεν ἐπὶ τοσοῦτόν με παρελήλυθεν ὥστε κινδυνεύειν ἀπαυδᾶν πρὸς τὰς αὐτοῦ προτάσεις. οὔτε γὰρ δειπνῆσαι ἔστιν ὅτι μὴ ἀντιβάλλοντα, οὔτε δειπνήσαντα ἔξεστι περιπατῆσαι καὶ διαναπαῦσαι τὸ σωμάτιον, ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φιλολογεῖν καὶ ἀκριβοῦν τὰ ἀντίγραφα ἀναγκαζόμεθα· οὔτε μὴν ὅλην ἐπὶ θεραπείᾳ τοῦ σώματος τὴν νύκτα ἔξεστιν ἡμῖν κοιμᾶσθαι, ἐπὶ πολὺ ταῖς φιλολογίαις παρατείνοντα. ἐῶ δὲ λέγειν καὶ τὰ ἕωθεν μέχρις ἐνάτης καὶ δεκάτης ὥρας· πάντες γὰρ οἱ θέλοντες φιλοπονεῖν τοὺς καιροὺς τούτους τῇ ἐξετάσει τῶν θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασι." πᾶσαν τοίνυν ἡρμήνευσε τὴν θείαν γραφήν· κατὰ γὰρ τοὺς χρόνους ἐκείνους ἐν Ἱεριχοῖ ἔν τινι πίθῳ περιτυχὼν τῇ παλαιᾷ, εὐφυῶς μάλα καὶ ἐπιστημόνως ταύτην κατεσκεύασεν. ἀλλ' οὐκ εἰς τέλος ἄσβεστον αὐτοῦ τὸ κλέος διέμεινε. συμβεβήκει γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας δραστήριον πτῶμα ἐξαίσιον, καὶ μέντοι σκάνδαλον πολλοῖς καὶ ἀπωλείας πρόξενος γέγονε. βουλόμενος γὰρ τῶν θείων γραφῶν μηδὲν ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας καὶ θανάσιμα ἐξηγήσατο ῥήματα. ἐξ αὐτοῦ γὰρ καὶ Ἄρειος τὰς ἀφορμὰς εἴληφε καὶ οἱ καθεξῆς ἀνόμοιοί τε καὶ ἀνόσιοι καὶ οἱ λοιποὶ πάντες. φάσκει γὰρ οὗτος τολμήσας κατὰ τὴν ἀρχὴν ὅτι ὁ μονογενὴς υἱὸς ὁρᾶν τὸν πατέρα οὐ δύναται, οὔτε τὸ πνεῦμα τὸ ἅγιον τὸν υἱόν, οὔτε οἱ ἄγγελοι τὸ πνεῦμα, οὔτε οἱ ἄνθρωποι τοὺς ἀγγέλους, καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς οὐ θέλει εἶναι τὸν υἱόν, ἀλλὰ κτίσμα, καὶ κατὰ χάριν υἱὸν λέγεσθαι, τὴν δὲ ἀνθρωπίνην ψυχὴν προϋπάρχειν, καὶ τὰ ἑξῆς τῶν βλασφημιῶν αὐτοῦ. πολλὴν γοῦν πεποίηκε σύνταξιν εἰς ἑκάστην γραφήν· καὶ ὅσα μὲν ἐν προσομιλίαις καὶ διὰ προοιμίων ἐς ἤθη τε καὶ ἐς φύσεις ζῴων καὶ ἀλόγων εἴρηται, μέσος φερόμενος πολλάκις χαρίεντα

διηγήματα γράφει, ὅσα δὲ περὶ πίστεως ἐδογμάτισε, τῶν πάντων ἀτοπώτερος εὑρίσκεται. ἔδοξε δὲ αὐτῷ καὶ ἀσκητικὸν βίον ἐπανῃρῆσθαι τοιοῦτον ὡς καὶ τὸν θώρακα αὐτοῦ φασὶ δι' ὑπερβολὴν ἀσιτίας τε καὶ σκληραγωγίας ἀνατραπῆναι. ἐπινενόηκε δὲ καὶ κατὰ τὸ σωμάτιον, οἱ μὲν ὅτι νεῦρον ἀποτετμηκέναι διὰ τὸ μὴ ἡδονῇ παρενοχλεῖσθαι· οἱ δὲ φάρμακον ἐπιθεῖναι τοῖς μορίοις εἶπον καὶ ἀποξηρᾶναι· ἄλλοι δὲ ἄλλα εἰς αὐτὸν ἀναφέρουσιν. οὗτος πολλὰ λέγεται πεπονθέναι ὑπὲρ τοῦ Χριστοῦ, λόγιος ὢν σφόδρα καὶ ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένος· φθόνῳ δὲ διαβληθεὶς πρὸς τοὺς τῆς ἐξουσίας ἄρχοντας, κακομηχανίᾳ διαβολικῆς ἐπινοίας εἰς αἰσχρότητα ἄνδρα φασὶν ἐπινοηθῆναι παρὰ τῶν τῆς κακίας ἐργατῶν· Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος αὐτοῦ. ὁ δὲ μὴ φέρων τὴν τοσαύτην βδελυρὰν ἐπίνοιαν ἔρρηξε φωνήν, ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων, καὶ καθωμολόγησε θῦσαι. καὶ βαλόντες ἐπὶ τὰς χεῖρας αὐτοῦ λιβανωτόν, εἰς τὴν τοῦ βωμοῦ πυρὰν καθῆκε. καὶ οὕτω τοῦ μαρτυρίου ἀπὸ τῶν κρινάντων ἀπεβλήθη καὶ τῆς ἐκκλησίας ἐξεώσθη. καὶ τὴν Ἀλεξάνδρειαν καταλιπὼν διὰ τὸν ὄνειδον τὴν Ἰουδαίαν κατέλαβεν. ἀνελθὼν δὲ εἰς Ἱεροσόλυμα ὡς ἐξηγητὴς καὶ λόγιος προετρέπετο ἀπὸ τοῦ ἱερατείου ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν· πρεσβύτερος γὰρ προϋπῆρχε. καὶ πολλὰ καταναγκασθεὶς ὑπὸ τῶν ἱερέων, ἀναστὰς καὶ τοῦτο μόνον τὸ ῥητὸν εἰπὼν "τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;" πτύξας τὸ βιβλίον ἐκάθισε μετὰ κλαυθμοῦ δακρύων, πάντων ὁμοῦ συγκλαιόντων αὐτῷ. εἰσὶ δὲ καὶ ἄλλα πολλὰ λεγόμενά τε καὶ ᾀδόμενα διὰ τὸ πλῆθος τῆς γνώσεως αὐτοῦ καὶ συντάξεως τῶν βιβλίων. ὅθεν καὶ συντακτικὸς ὠνομάσθη διὰ τὸ πεποιηκέναι πολλὰ βιβλία, μὴ ἀκούων, ὡς ἔοικε, τοῦ Σολομῶντος λέγοντος "υἱέ, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά, καὶ μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξενεγκεῖν λόγον ἀπὸ προσώπου τοῦ θεοῦ, ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ τῆς γῆς κάτω. διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι· εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητος. καὶ μὴ γίνου δίκαιος πολύ· ἔστι γὰρ δίκαιος ἀπολλύμενος ἐν δικαιώματι αὐτοῦ. καὶ μὴ σοφίζου περισσά, μή ποτε ἀσεβήσῃς." ταῦτα πάντα παρωσάμενος ἐσφάλη τοῦ πρέποντος (Cedren. p. 252).

Ὠριέων ἄποικον ὄντα.

ὡρικῶς νεωτερικῶς, εὐπρεπῶς, ἢ κατὰ καιρόν· Ἀριστοφάνης Πλούτῳ (964) "ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς." προσπαίζουσι δὲ τῇ πρεσβύτιδι οἱ γέροντες διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ. καὶ ὡρικὴν ἀντὶ τοῦ ἀκμαίαν· ὥρα γὰρ καὶ ἡ ἀκμή, καὶ ὡραῖος ὁ ἀκμαῖος. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. Ἀριστοφάνης (Ach. 271) "εὑρόνθ' ὡρικὴν ὑληφόρον, μέσην λαβόντ' ἄραντα καταβαλόντα καταγιγαρτᾶν," ἐν τοῖς γιγάρτοις σποδεῖν.

ὥριμον εὔκαιρον.

Ὡρῖνος ὄνομα κύριον.

ὥριστος ἀντὶ τοῦ ὁ ἄριστος.

Ὡρίων Ἀλεξανδρεὺς γραμματικὸς ἀνθο- a
λόγιον, Ἀττικῶν λέξεων συναγωγήν, περὶ ἐτυμολογίας, ἐγκώμιον Ἀδριανοῦ τοῦ Καίσαρος.

Ὡρίων Θηβαῖος τῆς Αἰγύπτου συναγω- b
γὴν γνωμῶν ἤγουν ἀνθολόγιον, πρὸς Εὐδοκίαν τὴν βασιλίδα, γυναῖκα Θεοδοσίου τοῦ μικροῦ, βιβλία γ'.

ὡρίως ἐπίρρημα· "ὡρίως ἔχουσι θέσεως," κατὰ καιρόν.

ὤρκυπτεν ὑπερέκυπτεν ἐπαιρόμενος.

ὤρκυπτον ἔβλεπον μετεωριζόμενοι.

ὡρκωμότηκεν.

ὥρμα διηγείρετο.

ὡρμενος διεγερθείς.

ὥρμησαν ὁρμῇ ἐχρήσαντο, οὐχὶ ᾤχοντο.

ὡρογραφία.

ὡρολόγιον τὸ τὰς ὥρας μετροῦν.

ὡρονομεῖον.

Ὧρος Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Κωνσταντίνου πόλει, ἔγραψε περὶ διχρόνων, ὅπως τὰ ἐθνικὰ λεκτέον, λύσεις προτάσεων τῶν Ἡρωδιανοῦ, πίνακα τῶν ἑαυτοῦ, περὶ ἐγκλιτικῶν μορίων, ὀρθογραφίαν κατὰ στοιχεῖον, περὶ τῆς ει διφθόγγου, ὀρθογραφίαν περὶ τῆς αι διφθόγγου κατὰ Φρυνίχου κατὰ στοιχεῖον, ἀνθολόγιον περὶ γνωμῶν.

ὧρος ὁ ἐνιαυτός.

ὡροσκόπος ἀστρίτης σκοπεύων τὴν ὥραν. καὶ ὡροσκοπεῖον.

ὠρυγή βοή, ἐκ τοῦ ὠρύω.

ὠρύεται ὑλακτεῖ.

ὠρυόμην καὶ ὠρυόμενος.

ὤρυσσον, καὶ ὁ μετ' ὀλίγον μέλλων ὀρωρύξομαι.

ὤρυχα καὶ ὀρώρυχα. ὠρύχειν καὶ δὲ ὠρωρύχειν ὑπερσυντέλικος.

ὠρχιπέδησας τῶν ὄρχεων ἧψω αἰσχρῶς ⟨A Av. 142⟩.

Ὠρωπία χώρα.

Ὠρωπός τόπος.

ὡς λίαν· Παρμενίδῃ ⟨p. 135 A⟩ "θαυμασίως ὡς δυσανάπειστον." Σοφοκλῆς "θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει." λβ' δὲ σημαίνει τὸ ὡς τοῦτο.

ὡσαννά τὸ δόξα σημαίνει.

ὡς ἂν ὑπὲρ τηλικούτων ἀντὶ τοῦ ἕνεκεν τούτων· "ἀντιλαμβανομένης τῆς γυναικὸς καὶ βοώσης ὡς ἂν ὑπὲρ τηλικούτων."

ὤσατο ἑαυτόν κατέβαλεν ἀπὸ τοῦ ἵππου, Ἀππιανός, "ὁ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν τῶν ὑπασπιστῶν." ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν.

ὡσαύτως παραπλησίως, ὁμοίως.

ὥς γ' ἐμοὶ κριτῇ ἀντὶ τοῦ ὡς ἐμοὶ χρῆσθαι κριτῇ· Σοφοκλῆς ⟨Ai. 395⟩ "Ἔρεβος φαεννότατον, ὡς ἐμοί." ἢ παρέλκει τὸ ὥς· ἐμοὶ κριτῇ.

ὡς δεῖ δέον γενέσθαι.

ὡς δή σφιν ὡς δὴ αὐτοῖς.

ὡς ἐκ τῶν παρόντων ἐξ ἀνάγκης. "ἣ δὲ ὡς ἐπύθετο, ὡς ἐκ τῶν παρόντων αἵρεσιν ἑκάστῃ δόντος θανάτου ὡς ἔνι μάλιστα ἀλύπου τε καὶ κούφου, τὸ διάδημα, ὅπερ οὖν ἐπὶ τῆς κεφαλῆς εἶχε σύμβολον δὴ καὶ μαρτύριον ἀρχῆς, περισπάσασα, εἶτα μέντοι τῷ τραχήλῳ περιβάλλει, πρὸς τὴν χρείαν τὴν παροῦσαν βρόχον ἀποφήνασα" ⟨cf. v. ταραντινίδιον⟩.

ὡς ἔνι ὡς ἐγχωρεῖ, ὡς ἔστι· "ὅπως καταγωγαὶ ὡς ἔνι ἀσφαλέσταται ἔσονται."

ὡς ἔνι μαλιστα ἀντὶ τοῦ λίαν. "οἱ δὲ τὰς μὲν ἀρχὰς ἐπτοήθησαν ὡς ἔνι μάλιςα, μετὰ δὲ ταῦτα τοῦ στρατηγοῦ δόντος παράγγελμα πάντες ἐβοήθουν." καὶ αὖθις "δυσχερῶς αὐτοὺς ἐπιδιδόντων ὡς ἔνι μάλιστα εἰς τὴν χρείαν ταύτην."

ὡς ἔοικεν ὡς φαίνεται, ὡς δεῖ, ὡς γίνεται.

ὡς ἐπίπαν ὡς ἐπὶ πολύ. λέγεται δὲ τοῦτο καὶ ὡς πλήθει. Δίων ὁ συγγραφεὺς πολλαχοῦ κέχρηται τῇ λέξει. καὶ ἐν Ῥωμαϊκῶν ιζ' "πέφυκε γὰρ καὶ ἄλλως ὡς πλήθει τὸ μὲν εὐτυχοῦν θρασύνεσθαι τὸ δὲ κακοπραγοῦν μετριάζειν, κἀκ τούτου τὸ μὲν δεδιὸς σωφρονεῖν τὸ δὲ θαρσοῦν ἀκολασταίνειν. ἐπὶ πλέον δ' ἐν ἐκείνῳ τοῦτ' ἐφωράθη." καὶ ἐν ιγ' "καίτοι πέφυκεν ὡς πλήθει τὸ μὲν βέβαιον ἐκ βραδυτῆτος τὸ δ' ὀξύρροπον ἐκ τάχους διανοίας ὑπάρχειν."

ὡς ἔπος εἰπεῖν. τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος φάναι, καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν. σημαίνει δὲ πάντα τὸ αὐτό.

ὡς ἔπος εἰπεῖν ὡς φαίνεται, καὶ ὡς ἐνὶ λόγῳ εἰπεῖν.

ὡς ἐς πᾶν ἀπορίας ἀφικέσθαι παντελῶς ἀπορῆσαι.

ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην ⟨A Vesp. 1358⟩.

Ὡσηέ ὁ προφήτης.

ὠσθείς καὶ ὤσθην.

ὡς καλόν, ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία" ⟨A Pac. 563⟩. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ πάντα φαίνεται, πῇ μὲν τὰ προσφάγια φερόντων, πῇ δὲ αὐτῶν ἑστιωμένων.

ὠσμένῳ ὠθισμένῳ, πεσόντι ⟨Ps. 61 3⟩.

ὡς οἷόν τε ὡς δυνατόν.

ὡς οὐκ ἀρκέσοι τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν" ⟨S Ai. 727⟩ περὶ τοῦ Τεύκρου. ὡς οὐκ ἐπαρκέσοι ἑαυτῷ μὴ λιθόλευστος γενέσθαι. ὡς οὐ κωλύσει ἑαυτὸν καταλιθωθῆναι.

ὡς οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος, παροιμία. ὁ στίχος δέ ἐστι Χαιρήμονος ἐκ Θερσίτου.

ὥσπερ κογχύλην διελεῖν, παροιμία ἐπὶ τῶν σφόδρα εὐτελῶν.

ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες, ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες, οὐχ ἕλξετ'; οὐ παιήσετ'; οὐκ ἀρήξετε; οὐ λοιδορήσετ'; οὐκ ἀναισχυντήσετε; παύεσθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε" ⟨A Lys. 458⟩. ὦ σπερμαγ. καὶ τὰ ἑξῆς· ᾠὰ γὰρ ἐπώλουν καὶ λάχανα καὶ ὄσπρια.

ὡς Πυθώδ' ἰέναι βȣλόμενοι Βοιωτȣ̀ς δίοδον αἰτώμεθα" (A Av. 189). φασὶ μεταξὺ τῆς Πυθȣ̃ς καὶ τῆς Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ ȣ̓χ οἷόν τε εἶναι Ἀθηναίους εἰς Πυθὼ ἀπελθεῖν, εἰ μὴ παρέλθωσι Βοιωτίαν. ὅταν δὲ καὶ στράτευμα διάγῃ, δίοδον ᾔτȣν. τȣ̃το ȣ̓̃ν φησὶν Ἀριστοφάνης· ὥσπερ ἡμεῖς δίοδον αἰτȣ̃μεν τȣ̀ς Βοιωτȣ́ς, ȣ̔́τως ὅταν θύσωσιν οἱ ἄνθρωποι τοῖς θεοῖς, ἢν μὴ φόρον φέρωσιν ἡμῖν οἱ θεοί, διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τȣ̃ χάȣς τῶν μηρίων τὴν κνῖσαν ȣ̓ διαφρήσετε, ἀντὶ τȣ̃ ȣ̓ διαφορήσετε, ȣ̓ διαπέμψεσθε.

ὡς σφόδρα οἷον θαυμαστῶς καὶ ὑπερφυῶς.

Ὤστεια πόλις.

ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελών, ἐπὶ τῶν μεγαλοφρόνων. οἱ μὲν ἱερὰν φασιν ἐν Ἄργει εἶναι ἀσπίδα καλȣμένην, ὀχυρὰν καὶ δυσκάθεκτον· οἱ δὲ λόχον φασὶν εἶναι ἐν Ἄργει τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν ἀσπίδα καλεῖσθαι.

Ὠστία. Ἄγκος Μάρκιος βασιλεύσας Ῥωμαίων πρὸς τοῖς λοιποῖς καὶ πρὸς ταῖς ἐκβολαῖς τοῦ Τιβέριδος ποταμȣ̃ ἐτείχισε τόπον, καὶ ἐπ' αὐτῆς τῆς ῥαχίας ἀνίστησι πόλιν, ἣν Ὠστίαν ἀπὸ τῆς θέσεως προσηγόρευσεν, ὡς ἂν εἴποιεν Ἕλληνες θύραν, ἐς' πȣ σημείοις ἀφεστῶσαν τῆς Ῥώμης. οἶμαι δὲ διὰ τȣ̃ ω μεγάλȣ, καὶ ὠστιάριος, παρὰ τὸ ὠθεῖν. ὀστία δὲ ἡ θύρα παρὰ Ῥωμαίοις, καὶ ὀστιάριος τὸ ἀξίωμα, διὰ τοῦ ο μικρȣ̃. μὴ ἑλληνικῶς δὲ ἐτυμολογείσθω.

ὠστίας. οἱ Ῥωμαῖοι ὠστίας τὰς θύρας φασίν. κατὰ Ἑλληνικὴν δὲ ἐτυμολογίαν γράφομεν διὰ τȣ̃ ω μεγάλȣ, παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον· ἔνθεν καὶ ὠστιάριος ὁ κρατῶν τὰς θύρας καὶ ὠθίζων τȣ̀ς εἰσιέναι βȣλομένους. Ἀριστοφάνης ἐν Πλούτῳ (329) "δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ 'κκλησίᾳ." καὶ ἐν Ἀχαρνεῦσιν (24) "οἱ δ' ὠστιοῦνται, πῶς δοκεῖς, περὶ τοῦ πρώτȣ ξύλȣ," ἀντὶ τοῦ διωσθήσονται περὶ τῆς προεδρείας, ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν· ὅτι δὲ καὶ ἐκ λίθων, παντί που δῆλον. ἀπὸ ἐνεστῶτος δὲ γίνεται τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινά ἐστι λεγόμενος· καὶ Ὅμηρος (O 697) "φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας" καὶ (Δ 223) "ἔνθ' ȣ̓κ ἂν βρίζοντα ἴδοις."

ὠστιζομένη (A Lys. 330) στενοχωρουμένη.

ὠστικῶς τὸ μετὰ βίας καὶ ὠθισμοῦ· "μηδὲ ὠστικῶς καὶ μετὰ βίας πρὸς θάνατον ἔχειν" (M. Anton. 9 3).

ὡς τὸ εἰκός· "ἥ τε παῖδα ὄντα ἱερῷ λόγῳ ἠγάπα τε, ὡς τὸ εἰκός." διάφορα δὲ σημαίνει, πρέπον, ἀκόλȣθον, εὔλογον, καὶ ἀντὶ τοῦ τάχα.

ὡς τύπῳ εἰπεῖν ἀντὶ τοῦ ὡς κοινότερον καὶ καθόλου εἰπεῖν.

ὧς φάσαν ἡ πληθύς, παρ' Ὁμήρῳ (B 278). πρὸς τὸ νοητὸν ἀπήντηκε· τῷ γὰρ ἔννοιαν ἔχοντι πλήθους ὀνόματι πληθυντικὸν ῥῆμα συνέζευξε. καὶ (Y 166) "ἀγρόμενοι πᾶς δῆμος."

ὤσφροντο ὠσφραίνοντο. ἀντὶ τȣ̃ ᾔσθοντο· διὰ οἴνου γάρ εἰσιν αἱ σπονδαί, δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῇ ἀναφορᾷ τοῦ οἴνου (sch. A Ach. 178).

ὠσχοφόρια σκιράδος Ἀθηνᾶς ἑορτή· ὦσκαι γὰρ καὶ ὦσχαι τὰ μετὰ τῶν βοτρύων κλήματα.

ὠσχοφόρος. δύο · · · καλοῦσιν (cf. v. ὀσχοφόροι).

ὦτα κατεαγότες· "ἤδη γὰρ ἐνίοις τῶν τὰ ὦτα κατεαγότων καὶ διεφθαρμένων τὰς διανοίας εἰς κωμῳδίαν ἐτράπη καὶ γέλωτα πολὺν τὰ τῆς φιλοσοφίας ἀπόρρητα." Δαμάσκιός φησι (Phot. p. 341 b) διὰ τὸ τινὰς ἐκφερομυθεῖν τὰ τῆς φιλοσοφίας ἀπόρρητα (cf. v. κατεαγότων).

ὠτακουστεῖν, γενικῇ, τὰ κρύφια μανθάνειν ἐθέλειν διά τινων. καὶ ὠτακȣστής.

ὦ τάν ὦ οὗτος, ὦ φίλε, ὦ τάλαν, καὶ ὦ μέλε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ μόνων λέγεται γυναικῶν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν, ὡς παρὰ Κτησιφῶντι. οἱ γὰρ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βραχύνȣσι. καὶ βέλτιον· ἀδύνατον γὰρ εὑρεθῆναι μίαν λέξιν δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἐτάν, ἀγνοῶν ὡς ἄρα τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα, καὶ δωρικῶς ἔταν. Ἀριςοφάνης (Ran. 983) "τȣ̃το μὲν ἔασον, ὦ τάν· οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου." τὰ περὶ δημοκρατίας καὶ ἰσότητος φησὶν ἔασον· ἐμὸν δὲ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου.

οὐ σόν.

b ὦ τάν. οὐ πρὸς ἕνα μόνον τὸ ὦ τάν, ἀλλὰ καὶ πρὸς δύο· Ἀριστοφάνης Πλούτῳ ⟨66⟩ "ὦ τάν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ," καὶ Κρατῖνος "ἆρά γε ὦ τὰν ἐθελήσετον."

ὠτειλή τραῦμα.

ὠτόεις ὁ ἔχων ὠτία. καὶ κλίνεται ὠτόεντος. καὶ ὠτίον.

ὠτοθλαδίας· "ὠτοθλαδίας τε καὶ ἐμπινὴς ὤν, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος" ⟨Diog. L. 5 67⟩.

ᾧ τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. Τίμαιον ἐν λή ἱστορεῖν ὡς οἱ περὶ Δημοκλείδην κατὰ Δημοχάρους εἶπον ὅτι μόνῳ αὐτῷ πάντων Ἀθηναίων οὐκ ἔξεστι τὸ ἱερὸν πῦρ φυσῆσαι, ὡς μὴ καθαρεύοντι τοῖς μέρεσιν. Δοῦρις δὲ ἐν τῇ ί Πυθέαν κατὰ Δημοσθένους τὸ ὅμοιον εἰπεῖν ⟨cf. v. Δημοχάρης⟩.

ὠτοκάταξις τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ.

ὦτος ὄρνεον, ὅπερ ἐπαινούμενον καὶ ἀντορχούμενον ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται· διόπερ καὶ τοὺς χαύνȣς καὶ κενοδόξȣς ὤτȣς καλοῦσιν ⟨cf. v. κοβαλεία⟩.

ωὑτός ὁ αὐτός.

ὤφειν ἀντὶ τοῦ εἶδον. ὄψιν. "ὤφειν ὀδωδότα."

ὠφελείας χρείας, τὴν διαρπαγὴν τῶν λαφύρων· ⟨Polyb. 10 15⟩ "ὁ δὲ Πόπλιος εἰσελθὼν εἰς τὴν πόλιν ἐκέλευσε κτείνειν ἅπαντα τὸν παρατυχόντα καὶ μηδενὸς φείδεσθαι, μηδὲ πρὸς τὰς ὠφελείας ὁρμᾶν, μέχρις ἂν ἀποδοθῇ τὸ σύνθημα." ἐν δὲ ἐπιγράμματι ⟨AP 6 187⟩ διὰ τȣ̃ ι "ὧδε νέμοις ἠέρος ὠφελίην" διὰ τὸ μέτρον.

ὤφελεν εὐκτικόν. ἔστι δὲ καὶ ὤφελον. "ὤφελε πρότερον αἰθέρα δῦναι μέγαν ἢ τὸν πολύκοινον Ἅδην κεῖνος ἀνήρ, ὃς στυγερῶν ἔδειξ' ὅπλων Ἕλλησι κοινὸν Ἄρη" ⟨S Ai. 1192⟩, τουτέστιν, ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα.

ὠφέλιμον πρᾶγμα ὅτι τοιοῦτον ὥςε εὐλόγως αὐτὸ αἱρεῖσθαι πρὸς αὔξησιν καὶ προσθήκην· ὀφέλλω γὰρ τὸ αὐξάνω. Ξενοφῶν ⟨Anab. 4 1 23⟩ "ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγον, κατεσφάγησαν."

ὠφελιμώτερος.

Ὠφελίων κωμικός. μέμνηται αὐτοῦ καὶ Ἀθήναιος ἐν τῷ β' βιβλίῳ τῶν Δειπνοσοφιστῶν, φησὶ δὲ τῶν δραμάτων αὐτȣ̃ εἶναι ταῦτα, Δευκαλίωνα Κάλλαισχρον Κένταυρον Σατύρους Μούσας Μονοτρόπους.

ὦ 'φήμερε ὦ ἄνθρωπε. οὕτω παρεισάγει Ἀριστοφάνης ἐν Νεφέλαις ⟨223⟩ τὸν Σωκράτην λέγοντα. ὦ θνητέ, ὦ ἄνθρωπε, ὦ τὰ ἐφήμερα φρονῶν. τοῦτο δὲ λέγει ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων διὰ τὸ φροντίζειν περὶ μετεώρων. ἢ ὅτι ἐλέγετο ὁ Σωκράτης Σειληνῷ παρεμφερὴς εἶναι· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ ⟨fr. 152⟩· ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ τοιούτȣς αὐτῷ περιέθηκε λόγους "ὦ τάλας ἐφήμερε νήπιε, βάζεις χρήματά μοι διακομπεύων." ἅμα δὲ καὶ ὡς ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον ἐποίησεν αὐτὸν λέγοντα.

ὠφθαλμισμένȣς. ὠφθαλμισμένȣς ἄνθραξι καὶ ἠλέκτροις εἶχον τοὺς πόδας αἱ κλῖναι τῶν ἀρχαίων ⟨sch. A Eq. 529⟩.

ὦφθεν ἀντὶ τοῦ ὤφθησαν.

ὦ φθόρε ὦ ὄλεθρε· ⟨A Eq. 1148⟩ "ἄπαγ' ἐς μακαρίαν ἐκποδών, ὦ φθόρε."

ὤφλησα ἐχρεώστησα.

ὦ φῶς κακοῖσι τοῖς ἐμοῖς ἧκε καὶ τὸν φίλον ἀπόδειξον δεομένῳ τῆς σῆς δεξιᾶς. γενοῦ τὴν τελευταίαν χρείαν Μιθριδάτης ἄλλος ἐμοί." ταῦτά φησι Μιθριδάτης πιὼν φάρμακον καὶ δυσθανατῶν.

ᾤχετο ἀπῄει, ἐπορεύετο· "ὃ δὲ τὴν Πελοπόννησον καταλιπὼν εἰς Αἰτωλίαν ᾤχετο ἀπιών."

ᾤχετο ἀπιών· "ἐπαγγειλάμενος δὲ πάλιν ἐπανήξειν ᾤχετο ἀπιών" ἀντὶ τȣ̃ ἐς τὸ ὀπίσω ἀπεχώρησε. συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

Ὦχος φιλόσοφος παρὰ Φοίνιξι, Ζάμολξις παρὰ Θρᾳξίν, Ἄτλας παρὰ Λίβυσιν ⟨Diog. L. prooem.⟩.

Ὦχος ὄνομα κύριον.

ᾦχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον, μόνον οὐ στεφανώσασ', οὐδ' ἐπιθεῖσα λήκυθον" ⟨A Eccl. 559⟩· εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

ὠχραίνεται.

**ὠχριῶσα.** οὐ παρὰ τὸ φοβουμένη τὸ ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. οὕτω γὰρ εἶπεν ⟨A Pac. 641⟩ "ἡ πόλις ὠχριῶσα καὶ φόβῳ καθημένη."

**ὦχρος** ὠχρίασις· ἐν ἐπιγράμματι ⟨AP 5 242⟩ "ὡς εἶδον Μελίτην, ὦχρός μ' ἕλεν."

**ὤψ** ὠπός τὸ πρόσωπον, διὰ τοῦ ω μεγάλου.

**ὦψα** ἀντὶ τοῦ εἶδον.

**ὠψίκασιν** ἐβράδυναν.

**ὠψίσθη** ὀψὲ καὶ βραδέως ἦλθε, νυκτὶ κατεσχέθη· "ὃ δὲ ὠψίσθη ποτὲ ἄκων, καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ" Αἰλιανός φησιν ἐν τῷ περὶ θείων ἐναργειῶν ⟨cf. v. Γοργόνη⟩.

**ὠψοπόνος** ὁ περὶ τὰ ὄψα ἀσχολούμενος, ὁ μάγειρος· ⟨AP 6 306⟩ "ὠψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνης θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος."

**ὠψωνηκότες** ὀψωνήσαντες.